ΠΕΡΙ ΠΕΡΙΤΟΜΗΣ.

PHILONIS IVDAEI DE CIRCVMCISIONE.

Τὰ μὲν γένη τῶν ἐν εἴδει νόμων, οἱ προσαγορευόμενοι δέκα λόγοι, διὰ τῆς προτέρας ἠκρίβωνται συντάξεως· τὰ δ᾽ ἐν μέρει διατάγματα κατὰ τὴν τῆς γραφῆς ἀκολουθίαν νῦν ἐπισκεπτέον. ἄρξομαι δ᾽ ἀπὸ τοῦ γελωμένου παρὰ τοῖς πολλοῖς· γελᾶται δ᾽ ἡ τῶν γεννητικῶν περιτομή, πρᾶγμα σπουδαζόμενον οὐ μετρίως καὶ παρ᾽ ἑτέροις ἔθνεσι, καὶ μάλιστα τῷ Αἰγυπτιακῷ, ὃ καὶ πολυανθρωπότατον καὶ πολυσοφώτατον εἶναι δοκεῖ. παρ᾽ ὃ καὶ προσῆκον ἦν παιδικὴν χλεύην μεθεμένους, φρονιμώτερον καὶ σεμνότερον ἀναζητῆσαι τὰς αἰτίας, ὧν χάριν ἐκράτησε τὸ ἔθος, καὶ μὴ προεξαναστάντας καταγινώσκειν μεγάλων ἐθνῶν εὐχέρειαν, λογιζομένους ὡς οὐκ εἰκὸς τοσαύτας μυριάδας καθ᾽ ἑκάστην γενεὰν ἀποτέμνεσθαι, μετὰ χαλεπῶν ἀλγηδόνων ἀκρωτηριαζούσας τά θ᾽ ἑαυτῶν καὶ τὰ τῶν οἰκειοτάτων σώματα· πολλὰ δὲ εἶναι τὰ προτρέποντα τὴν εἰσαγωγὴν τῶν παλαιῶν διατηρεῖν καὶ ἐπιτελεῖν, τὰ δ᾽ ἀνωτάτω τέτταρα· ἓν μὲν χαλεπῆς νόσου καὶ δυσιάτου πάθους ἀπαλλαγήν, ἣν ἄνθρακα καλοῦσιν ἀπὸ τοῦ καίειν ἐντυφόμενον, ὡς οἶμαι ταύτης τῆς προσηγορίας τυχόντος, ἥτις εὐκολώτερον τοῖς τὰς ἀκροποσθίας ἔχουσιν ἐγγίνεται· δεύτερον, τὴν δι᾽ ὅλου τοῦ σώματος καθαρότητα πρὸς τὸ ἁρμόττον τάξει ἱερωμένῃ. παρ᾽ ὃ καὶ ξυρῶνται τὰ σώματα προσυπερβάλλοντες οἱ ἐν Αἰγύπτῳ τῶν ἱερέων. ὑποσυλλέγεται γὰρ καὶ ὑποστέλλει καὶ θριξὶ καὶ ποσθίαις ἔνια τῶν ὀφειλόντων καθαίρεσθαι· τρίτον δὲ τὴν πρὸς καρδίαν ὁμοιότητα τοῦ περιτμηθέντος μέρους. εἰς γὰρ γένεσιν ἄμφω παρεσκεύασαι. τὸ μὲν γὰρ ἐγκάρδιον πνεῦμα νοημάτων, τὸ δὲ γόνιμον ὄργανον ζῴων. ἐδικαίωσαν γὰρ οἱ πρῶτοι τῷ ἀφανεῖ καὶ κρείττονι δι᾽ οὗ καὶ τὰ νοήματα συνίσταται, τὸ ἐμφανὲς καὶ ὁρατόν, ᾧ τὰ αἰσθητὰ γεννᾶσθαι πέφυκεν, ἐξομοιῶσαι. τὸ τέταρτον δὲ καὶ ἀναγκαιότατον, τὴν πρὸς πολυγονίαν κατασκευήν. λέγεται γὰρ ὡς εὐοδεῖ τὸ σπέρμα, μήτε σκιδνάμενον, μήτε παρειρρέον εἰς τοὺς τῆς ποσθίας ὡς ἠλιθίους κόλπους. ὅθεν καὶ τὰ περιτεμνόμενα τῶν ἐθνῶν πολυγονώτατα καὶ πολυανθρωπότατα εἶναι. ταῦτα μὲν οὖν εἰς ἀκοὰς ἦλθε τὰς ἡμετέρας, ἀρχαιολογούμενα παρὰ θεσπεσίοις ἀνδράσιν, οἳ τὰ Μωσέως οὐ παρέργως

A Capita legum ſpecialium, id eſt decem præcepta quæ vocant decalogum, ſuperiore libro diligenter tractauimus: nunc ſupereſt vt ſpeciatim mandata conſideremus, ordine quo in ſacris literis ſunt prodita. initium autem faciam à re iuxta multorum opinionem ridicula. Ridetur enim maiorum noſtrorum circumciſio, quamuis in non mediocri honore habita etiam apud gentes alias,
B præſertim Ægyptiam, præcellentem hominum tam frequentia quàm ſapientia. ideò conuenientius erat abſque cauillis puerilibus prudenter & ſerio quærere cauſas cur is mos inualuerit, quàm præpropera ſententia damnare facilitatem gentium nobilium, cum veriſimile ſit non temerè circumcidi tam multa hominum millia, perferréque cruciatus mutilationis in ſuis & chariſſimorum pignorum corporibus: imò eſſe cauſas permultas quæ ſuadeant ab hoc
C priſcorum inſtituto non diſcedere, ſed quatuor præcipuas. Vnam, vt caueatur morbus curatu difficilis, quem vocant carbunculum, opinor ideo ſic appellatum, quod vrat inflammatione, quæ præputiatis facilius innaſcitur: alteram, vt totum corpus ſit purius, nec impediat officia ſacerdotalis ordinis: quamobrem etiam radunt corpora Ægyptij ſacrifici, ne quid ſordium vel ſub pilis vel ſub præputiis hæreat, quod poſſit obeſſe puritati ſacris debitæ. ter-
D tiam, quòd cordis ſimilitudinem quandam habeat circumciſa hæc particula. ambæ enim generationi ſeruiunt. nam ab altera ſpiritus animales, ab altera genituræ proficiſcuntur. ideo priſci æquum cenſuerunt occultæ illi potiorique, ceu fonti ſenſuum animi, adſimilare hanc viſibilem, vnde origo craſſiorum ſenſuum corporis. quarta porrò cauſa ſumme neceſſaria, eſt cura fœcunditatis & numeroſæ ſobolis. aiunt enim ita ſemen rectà eiaculari integrum nec dif-
E fluens per ſinus præputij: & ideo circumciſas gentes fœcunditate pollere, eſſéque populoſiſſimas. Hæc ſunt quæ ad aures meas peruenerunt, tradita per manus à Diuinis viris noſtris maio-

ribus, qui Moſis placita diligenter explicauerunt ſuis interpretationibus. equidem præter iam dictas rationes per circumciſionem ſignificari arbitror duo quædam valde neceſſaria. vnum, exciſionem voluptatum quæ mentem faſcinant. quoniam enim inter omnes voluptatum illecebras principatum tenet viri congreſſus cum muliere, inſtrumentum eius legiſlatores mutilari iuſſerunt, innuendo reſecandas voluptates ſuperfluas, non vnius tantum huius generis, ſed omnes per vnam ſubindicantes. alterum verò, quo moneantur abiicere arrogantiam, grauem morbum animæ. quidam enim velut præclari fictores, iactant ſe poſſe hominem animal pulcherrimum producere, & inflati hac ſuperbia gerunt ſe pro dijs, vero autore generationis diſſimulato, cum tamen eum errorem conſideratis alijs quibuſcum verſantur, potuerint corrigere. multi enim ſunt inter eos viri ſteriles, & infœcundæ mulieres multæ, atque ita vtrique conſenuerunt in orbitate. hæc igitur praua opinio excidenda eſt ex animo, ſicut & cætera quæcunque pietati repugnant. verum de his hactenus. nunc vertendus eſt ſtilus ad leges ſpeciatim proditas, ac primum ad eas quib. debetur initium, pertinentes ad caput de monarchia.

A διηρμήνευσαν. ἐγὼ δὲ πρὸς τοῖς εἰρημένοις καὶ σύμβολον ἡγοῦμαι τὴν περιτομὴν δυοῖν τοῖν ἀναγκαιοτάτοιν. ἑνὸς μὲν, ἡδονῶν ἐκτομῆς, αἳ καταγοητεύουσι διάνοιαν. ἐπειδὴ γὰρ τὰ νικητήρια φέρεται τῶν ἐν ἡδοναῖς φίλτρων ἡ ἀνδρὸς πρὸς γυναῖκα συνουσία, τὸ ὑπηρετοῦν ταῖς τοιαύταις ὁμιλίαις ὄργανον ἀκρωτηριάζειν ἔδοξε τοῖς νομοθέταις, αἰνιττομένοις ἐκτομὴν περιττῆς καὶ πλεοναζούσης ἡδονῆς, οὐ μιᾶς, ἀλλὰ διὰ μιᾶς τῆς βιαιοτάτης καὶ τῶν ἄλλων B ἁπασῶν. ἑτέρου δὲ, τὸ γνῶναί τινα ἑαυτὸν, καὶ τὴν βαρεῖαν νόσον τὴν οἴησιν ψυχῆς ἀπώσασθαι. ἔνιοι γὰρ ὡς ἀγαθοὶ ζωοπλάσται ζῷον τὸ κάλλιστον ἄνθρωπον ηὔχησαν δύνασθαι δημιουργεῖν, καὶ φυσηθέντες ὑπ᾽ ἀλαζονείας ἑαυτοὺς ἐξεθείωσαν, τὸν ἀληθῶς ὄντα αἴτιον γενέσεως θεὸν παρακαλυψάμενοι, καίτοι γ᾽ ἐκ τῶν συνόντων ἐπανορθώσασθαι τὴν ἀπάτην δυνάμενοι. πολλοὶ μὲν γὰρ παρ᾽ αὐτοῖς εἰ-C σὶν ἄνδρες ἄγονοι, καὶ στεῖραι γυναῖκες, ὧν ἀτελεῖς αἱ ὁμιλίαι κατηγορησάντων ἐν ἀπαιδίᾳ. πονηρὰν οὖν δόξαν ἐκτμητέον τῆς διανοίας, καὶ τὰς ἄλλας ὅσαι μὴ φιλόθεοι. τούτων μὲν οὖν πέρι τοσαῦτα· ἰτέον δ᾽ ἐπὶ τοὺς κατὰ μέρος ἤδη νόμους, καὶ πρῶτον ἀφ᾽ ὧν ἄρχεσθαι καλὸν, τοὺς περὶ μοναρχίας ὁρισθέντας.

PHILO